Ακαδημία Αθηνών / Academy of Athens

**ἰσότας.** 'Ισότης, equality, 'Αρχύτας 3.9 *πλεονεξία τε γὰρ οὐκ ἔστι τούτου γενομένου καὶ ἰσότας ἔστιν.*

**ἱστάναι.** Στέκομαι/δὲν κινοῦμαι, stand still, Ζήνων Α 27 (DK I 253,39) ἡ διστὸς φερομένη *ἕστηκεν.*

**ἵστωρ.** Γνώστης/ εἰδήμων, knowing/well-informed, 'Ηράκλειτος 35 *χρὴ γὰρ εὖ μάλα πολλῶν ἵστορας φιλοσόφους ἄνδρας εἶναι.*

**ἴσχειν.** Ἔχω/κατέχω, have/possess, 'Αναξαγόρας 12.10 *γνώμην γὲ περὶ παντὸς πᾶσαν ἴσχει.*

**ἰσχύειν.** 'Ισχύω/ἔχω ἐξουσία, prevail/have power, Φιλόλαος 11.17 *ἴδοις δὲ . . . τὰν τῶ ἀριθμῶ φύσιν καὶ τὰν δύναμιν ἰσχύουσαν* 'Αναξαγόρας 12.10 *καὶ γνώμην γε περὶ παντὸς πᾶσαν ἴσχει καὶ ἰσχύει μέγιστον.* Πρβλ. *δύνασθαι, κρατύνειν, κρατεῖν.*

**ἰσχυρίζεσθαι.** 'Αντλῶ ἰσχὺ/στηρίζομαι, draw strength from/ rely on, 'Ηράκλειτος 114.1 *ξὺν νόῳ λέγοντας ἰσχυρίζεσθαι χρὴ τῷ ξυνῷ πάντων.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

**ἰσχυρὸς 1.** 'Ισχυρὸς/στέρεος, strong/steady, Μέλισσος 8(3) *καὶ χρυσὸς καὶ λίθος καὶ ἄλλο ὅ,τι ἰσχυρὸν* **2** (συνών. *κρατερός,* ἀντίθ. *ἀσθενής*). 'Ισχυρὸς/δυνατός, powerful, Διογένης 8.2 *μέγα καὶ ἰσχυρὸν καὶ ἀίδιον* Δημόκριτος 51 *ἰσχυρότερος ἐς πειθὼ λόγος πολλαχῇ γίνεται χρυσοῦ* 'Αρχύτας 1.37 *ὑπὸ [τῶ] ἰσχυρῶ τῶ πνεύματος φερόμενα* 1.39 *ἰσχυροτάτῳ σαμείῳ.*

**ἰσχυρῶς** (ἀντίθ. *ἀσθενῶς, ἡσυχῇ*). 'Ισχυρῶς, strongly, 'Ηράκλειτος 114.2 *καὶ πολὺ ἰσχυροτέρως* 'Αρχύτας 1.25-29-33-34-48 *τὰ μὲν οὖν ποτιπίπτοντα ποτὶ τὰν αἴσθασιν ἃ μὲν ἀπὸ τᾶν πλαγᾶν ταχὺ παραγίνεται καὶ ‹ἰσχυρῶς›, ὀξέα φαίνεται, τὰ δὲ βραδέως καὶ ἀσθενῶς, βαρέα δοκοῦντι ἧμεν. αἱ γάρ τις ῥάβδον λαβὼν κινοῖ νωθρῶς τε καὶ ἀσθενέως, τᾷ πλαγᾷ βαρὺν ποιήσει τὸν ψόφον· αἱ δέ κα ταχύ τε καὶ ἰσχυρῶς, ὀξὺν . . . τὰ μὲν ἰσχυρῶς ἀφιέμενα πρόσω φέρεται, τὰ δ' ἀσθενῶς, ἐγγύς.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ